# ΑΙ ΕΝ ΤΩ ΝΑΩ ΤΗΣ ΑΓΙΑΣ ΕΙΡΗΝΗΣ ΚΑΤΑ ΤΗΝ Μ. ΠΑΡΑΣΚΕΥΗΝ ΤΕΛΟΥΜΕΝΑΙ "ΘΕΙΑΙ ΚΑΤΗΧΗΣΕΙΣ„

Ἐν τῇ Βασιλείῳ τάξει τοῦ Πορφυρογεννήτου ὑπάρχει σὺν ἄλλοις καὶ περιγραφὴ τῶν «ὅσα δεῖ φυλάττειν τῇ Μ. Παρασκευῇ, καὶ ὅσα ἐν αὐτῇ τελεῖται».

Ἐν τῇ περιγραφῇ ταύτῃ ὑπάρχει καὶ ἡ πληροφορία, καθ' ἣν ὁ Πατριάρχης δὲν μετέβαινε κατὰ τὴν ἡμέραν ταύτην μετὰ τοῦ Βασιλέως εἰς τὸν ναὸν τῶν Βλαχερνῶν, ἀλλ' ἐτέλει ἐν τῷ ναῷ τῆς Ἁγίας Εἰρήνης τὰς «Θείας κατηχήσεις», κατ' ἐντολὴν δὲ τοῦ Βασιλέως περὶ ὥραν τρίτην ἢ καὶ τετάρτην μετέβαινον οἱ Πατρίκιοι, ἀποσπώμενοι τῆς ἐν Βλαχέρναις βασιλικῆς συνοδείας, ὅπως παρευρεθῶσιν εἰς τὴν τελετὴν ταύτην· «καὶ περὶ ὥραν τρίτην ἢ καὶ τετάρτην τῆς αὐτῆς ἡμέρας ἀπέρχονται οἱ πατρίκιοι ἀπὸ κελεύσεως ἐν τῷ ναῷ τῆς ἁγίας Εἰρήνης, ὅπως τελοῦντος τοῦ Πατριάρχου τὰς θείας κατηχήσεις ἐν τῷ αὐτῷ ναῷ, τύχωσιν ἐκεῖσε» [1].

Πῶς διεξήγετο ἡ περὶ ἧς ὁ λόγος τελετή, οὐδεμία ἑτέρα πληροφορία μᾶς δίδεται, οὔτε ἐκ τῆς «Βασιλείου Τάξεως» οὔτε ἄλλοθεν. Τύχῃ ἀγαθῇ ἐν τούτοις ὁ ὑπ' ἀριθ. 869 κῶδιξ τῆς Βατοπεδινῆς Βιβλιοθήκης περιέχων δίστηλον Εὐαγγέλιον τοῦ ΙΒ΄ αἰῶνος δίδει ἐν φ. 221$^{\beta}$ καὶ ἑπ. ὁλόκληρον τὸ κείμενον τῆς ἀκολουθίας τῆς γινομένης τῇ ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ ἐν τῷ ναῷ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας Εἰρήνης.

Τὸ περὶ οὗ ὁ λόγος κείμενον ἐνέχει καὶ ἑτέραν σπουδαιότητα, καθότι πληροφορούμεθα ἐξ αὐτοῦ ὅτι ἐν τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως ἐτελεῖτο λειτουργία κατὰ τὴν Μ. Παρασκευήν. Γίνεται δὲ τοῦτο κατάδηλον καὶ ἐκ τῶν τελευταίων λέξεων τοῦ περὶ οὗ ὁ λόγος κειμένου: «καὶ ἄρχεται ἡ λειτουργία» καὶ ἐκ τῆς ἐπιγραφῆς τῆς σχετικῆς εὐαγγελικῆς περικοπῆς τὴν ὁποίαν περιέχει: «τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ εἰς τὴν λειτουργίαν». «Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ἔλαβον πάντες» καὶ ἑξῆς.

Ἐκ τῆς μελέτης τῶν εὐαγγελικῶν κωδίκων τῆς Μονῆς Βατοπεδίου ἀγόμεθα εἰς τὸ συμπέρασμα ὅτι λειτουργία κατὰ τὴν Μ. Παρασκευὴν ἐν τῇ Ἐκκλησίᾳ Κ/πόλεως ἐτελεῖτο μέχρι τοῦ ΙΒ΄ αἰῶνος φθίνοντος καὶ ὅτι ἀπὸ τοῦ ΙΓ΄ κατηργήθη αὕτη, ὑπερισχύσαντος τοῦ Τυπικοῦ τῆς ἐν Ἱερουσαλὴμ

[1] Κωνστ. Πορφυρογεννήτου, Ἔκθεσις τῆς βασιλείου τάξεως 179.10 (ἐκδ. Βόννης).

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/05/2024 19:54:41 EEST - 3.147.71.125

Ἐκκλησίας τοῦ λεγομένου τοῦ ἁγίου Σάββα, καθ' ὃ δὲν ἐτελεῖτο λειτουργία κατὰ τὴν Μ. Παρασκευήν. Ὁ κῶδιξ μάλιστα 625 περιέχει ἐν φ. 97β τὴν ἑξῆς ἐπὶ τοῦ ἀντικειμένου τούτου πολύτιμον μαρτυρίαν: «***Δεῖ εἰδέναι ὅτι παρελάβομεν ἐκ Παλαιστίνης κατὰ ταύτην τὴν ἁγίαν ἡμέραν μὴ ποιεῖν προηγιασμένην μήτε λειτουργίαν***».

Ἕνεκα τούτου, ἐνῷ πάντες οἱ μέχρι τοῦ ΙΒ´ αἰῶνος συμπεριλαμβανομένου κώδικες τῶν Εὐαγγελίων φέρουσιν ὡς ἐπιγραφὴν τῆς εὐαγγελικῆς περικοπῆς «Συμβούλιον ἔλαβον...» «εἰς τὴν λειτουργίαν τῆς Μεγάλης Παρασκευῆς» [1], ἐξ ἐναντίας οἱ ἀπὸ τοῦ ΙΓ´ αἰῶνος καὶ ἐφεξῆς κώδικες φέρουσιν ἐπὶ τῆς ἰδίας εὐαγγελικῆς περικοπῆς τὴν ἐπιγραφήν· «***εἰς τὸν ἑσπερινὸν τῆς Μ. Παρασκευῆς***».

Σημειωτέον προσέτι ὅτι ὁ κῶδιξ 925, τὸν ὁποῖον ἐμνημονεύσαμεν ἀνωτέρω, ἐν φ. 141α ὁρίζει καὶ τὸ εἶδος τῆς λειτουργίας, ἥτις ἐτελεῖτο πρὸ τοῦ ΙΓ´ αἰῶνος κατὰ τὴν Μ. Παρασκευήν, προσδιορίζων τὸ Κοινωνικὸν «Γεύσασθε καὶ ἴδετε» καὶ ἐν φ. 141α ὁρίζει Χερουβικόν, ὅπερ ἀποκαλεῖ «μυστικόν» εἰς τὴν λειτουργίαν τοῦ Μ. Σαββάτου «τὸ οἱ τὰ Χερουβὶμ» ἀντὶ τοῦ «Σιγησάτω πᾶσα σάρξ», ὅπερ φαίνεται νεώτερον τοῦ κώδικος γραφέντος κατὰ τὸ ἔτος 1105.

### *Ἀκολουθία γινομένη τῇ ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ.*

(ἐκ κώδ. Βατοπεδ. 879, φ. 221β ἑξ. περιέχοντος Εὐαγγέλιον ΙΒ´ αἰῶνος δίστηλον, Μεμβρ. 28 × 23).

«Συναγομένων [2] πάντων τῶν κατηχουμένων ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης, τῆς ἀρχαίας καὶ τῆς νέας, τῇ Μεγάλῃ Παρασκευῇ, ἔρχεται ὁ Πατριάρχης περὶ ὥραν ἕκτην καὶ ψάλλει τὴν Γ´ καὶ ϛ´ καὶ ἄρχονται οἱ ὀρφανοὶ ἐν τῷ ἄμβωνι [3] «Κύριε τίς παροικήσει ἐν τῷ σκηνώματί σου» εἰς ἦχον β´ μέχρι τέλους τοῦ ψαλμοῦ. Καὶ εἶθ' οὕτως [4] ἀνέρχεται ὁ Πατριάρχης ἐν τῷ ἄμβωνι καὶ βάλλει μετανοίας τρεῖς μετὰ κηρίων, καὶ ἐκβάλλει [5] τὸ ὠμοφόριον [6] καὶ ἐπιδίδωσι τῷ ἀρχιδιακόνῳ. Καὶ λέγει ὁ Ἀρχιδιάκονος «πρόσχωμεν». Ὁ Πατριάρχης· «Εἰρήνη πᾶσι» ὁ λαός: «καὶ τῷ πνεύματί σου». Καὶ λέγει ὁ Πατριάρχης τοῖς κατηχουμένοις· «στῆτε μετὰ φόβου, κατασφραγίσασθε, ἀποδύσασθε, καὶ ὑπολούσασθε». Καὶ τούτου γενομένου, ἀπάρχεται τῆς κατηχήσεως.| φ. 222α

Τοῦτο τὸ πέρας τῆς ὑμετέρας κατηχήσεως. Ἐπέστη τῆς ἀπολυτρώσεως

[1] Βλέπε κώδικας 879, 881 φ. 175,α 883 φ. 181α 906 φ. 148α, 925 φ. 132α καὶ 133β.

[2] συναγομένον.

[3] ἄμβονι.

[4] οὗτος.

[5] ἐκβάλει.

[6] ὀμοφόριον.

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/05/2024 19:54:41 EEST - 3.147.71.125

ὑμῶν ὁ καιρός. Σήμερον μέλλετε[1] τῷ Χριστῷ τὸ τῆς πίστεως ἐκτίθεσθαι γραμματεῖον. Χάρτης καὶ μέλαν[2] καὶ κάλαμος γίνεται[3] ὑμῖν ἡ συνείδησις καὶ ἡ γλῶσσα καὶ τὸ σχῆμα. Βλέπετε οὖν πῶς τὴν ὁμολογίαν χειρογραφεῖτε μὴ ἀστοχήσητε, ἵνα μὴ μεθοδευθῆτε. Οἱ μέλλοντες ἀποθνήσκειν διατίθενται καὶ γράφουσι τῶν ὑπαρχόντων αὐτοῖς ἄλλον κληρονόμον[4]. Καὶ ὑμεῖς μέλλετε αὔριον ἐν τῇ νυκτὶ ἀποθνήσκειν τῇ ἁμαρτίᾳ. Νῦν δὲ διατίθεσθε καὶ ποιεῖτε διαθήκην τὴν ἀπόταξιν καὶ γράφετε κληρονόμον τῆς ἁμαρτίας τὸν Διάβολον καὶ ἀφίετε αὐτῷ τὰς ἁμαρτίας, ὡς πατρῴαν κληρονομίαν. Εἴ τις οὖν ὑμῶν ἔχει τι τῶν τοῦ Διαβόλου ἐν τῇ ψυχῇ, προσριψάτω αὐτῷ. Ὁ ἀποθανὼν οὐκ ἔτι ἐξουσιάζει τῶν ὑπαρχόντων· καὶ ὑμῶν μηδεὶς ἐχέτω τι τῶν τοῦ Διαβόλου ἐν τῇ ψυχῇ. Διὰ τοῦτο καὶ ἑστῶτες, ἄνω τείνετε τὰς χεῖρας, ὡς παρὰ Ἀγγέ- φ. 222β λων ἐρευνώμενοι[5], μήτι τῶν τοῦ Διαβόλου κρύπτηται παρ᾿ ὑμῖν. Μηδεὶς ὀργὴν φυλαττέτω, μηδεὶς | μετὰ δόλου στηκέτω, μηδεὶς μετὰ ὑποκρίσεως ἀκουέτω. Προσρίψατε τῷ Διαβόλῳ πᾶσαν ῥυπαρίαν κακίας, ὡς αἰχμάλωτοι στήκετε[6] τοιούτους γὰρ ὑμᾶς ὁ Χριστὸς ἀγοράζει. Ἕκαστος ὑμῶν, ὡς βλέπων καὶ μισῶν[7] τὸν Διάβολον, οὕτως ἑαυτῷ ἐμφυσήσει. Εἰσέλθετε εἰς τὰς συνειδήσεις ὑμῶν, ἐρευνήσατε τὰς καρδίας ὑμῶν, βλέπετε τί ἕκαστος ὑμῶν ἔπραξεν. Εἴ τι τοῦ ἐναντίου ἐστὶν ἐν ὑμῖν, μετὰ τοῦ ἐμφυσήματος ἀποπτύσατε. Μηδεὶς ἔστω ἐνταῦθα τῇ ὑποκρίσει Ἰουδαῖος. Μηδεὶς περὶ τοῦ μυστηρίου ἀμφιβαλλέτω. Ὁ λόγος τοῦ Θεοῦ ἐρευνᾷ τὰς καρδίας ὑμῶν, τομώτερος ὢν ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. Νῦν ἕστηκεν ἐπὶ τὰς δυσμὰς ὁ Διάβολος, τρίζων τοὺς ὀδόντας, συνάγων τὰς κόμας, κροτῶν τὰς χεῖρας, δάκνων τὰ χείλη, μεμηνώς, θρηνῶν τὴν ἑαυτοῦ ἐρημίαν, ἀπιστῶν ἐπὶ τῇ ὑμετέρᾳ ἐλευθερίᾳ. Διὰ τοῦτο ὁ Χριστὸς ἵστησιν ὑμᾶς κατέναντι αὐτοῦ, ἵνα ἀποταξάμενοι αὐτῷ, καὶ ἐμφυσήσαντες, τὸν κατ᾿ αὐτοῦ ἀναλάβητε πόλεμον. Ἐπὶ τὰς δυσμὰς ἕστηκεν ὁ Διάβολος, ὅπου ἡ ἀρχὴ τοῦ σκότους. Ἀποτάξασθε αὐτῷ καὶ ἐμφυ- φ. 223α σήσατε. Εἶτα,| στρέφεσθε ἐπὶ τὰς ἀνατολὰς καὶ συντάσσεσθε τῷ Χριστῷ. Μή τις οὖν καταφρονήσει. Μετὰ φόβου στήκετε. Πάντα φοβερὰ τὰ παρόντα καὶ φρικτά. Πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν ἐνταῦθα πάρεισι. Πάντες οἱ Ἄγγελοι καὶ οἱ Ἀρχάγγελοι ἀοράτως τὰς ὑμετέρας φωνὰς ἀπογράφουσι[8]. Τὰ Χερουβὶμ καὶ τὰ Σεραφεὶμ νῦν ἐκ τῶν Οὐρανῶν παρακύπτουσιν, ἵνα δέξωνται ὑμῶν τὰς συνθήκας καὶ προσκομίσωσι τῷ Δεσπότῃ. Βλέπετε οὖν πῶς καὶ τῷ ἐχθρῷ ἀποτάσσεσθε καὶ τῷ δημιουργῷ συντάσσεσθε.

---

[1] μέλλεται.

[2] μέλας.

[3] γίνετε.

[4] κληρονόμῳ.

[5] ἐρευνόμενοι.

[6] στήκεται.

[7] μισόν.

[8] ἀπογράφεσθε.

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/05/2024 19:54:41 EEST - 3.147.71.125

Στραφῆτε ἐπὶ τὰς δυσμάς, ἄνω τὰς χεῖρας ὑμῶν ἔχοντες· ὃ λέγω, τοῦτο καὶ ὑμεῖς λέγετε. Ἀποτάσσομαι τῷ Σατανᾷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ καὶ πᾶσι τοῖς Ἀγγέλοις αὐτοῦ, καὶ πάσῃ τῇ ἀπο-πομπῇ αὐτοῦ. Εἶτα ἐρωτᾷ αὐτοὺς τρίς. Ἀπετάξασθε[1] τῷ Σατανᾷ; λέγουσιν, ἀπεταξάμεθα. Λέγει αὐτοῖς. Ἐμφυσήσατε αὐτῷ. Εἶτα πάλιν λέγει αὐτοῖς. Σραφῆτε ἐπὶ τὰς ἀνατολάς, κάτω τὰς χεῖρας ὑμῶν ἔχοντες, μετὰ φόβου στήκετε[2] ὃ λέγω, τοῦτο καὶ ὑμεῖς λέγετε[3]. Καὶ συντάσσομαι[4] τῷ Χριστῷ, καὶ πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα. Τοῦτο τρίτον λέγει, πάντων ἀποκρινομένων.| φ. 223β Ἐρωτᾷ αὐτοὺς τρίτον· συνετάξασθε τῷ Χριστῷ; λέγουσι, συνεταξάμεθα. Καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· προσκυνήσατε αὐτῷ. Καὶ ποιεῖ εὐχήν, λέγων.

Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λέγει αὐτοῖς πάλιν. Ἰδοὺ ἀπετάξασθε τῷ Διαβόλῳ καὶ συνετάξασθε τῷ Χριστῷ· τὸ γραμματεῖον ἐπληρώθη, ὁ Δεσπότης αὐτὸ ἐν οὐρανοῖς κατέχει. Βλέπετε τὰς συνθήκας· φυλάξατε τοῦτο ὑμῖν. Ἐν ἡμέρᾳ κρίσεως προσφέρετε τὸ γραμματεῖον· μὴ ἀστοχήσητε περὶ τὸ κεφάλαιον, περὶ οὗ καὶ τοὺς τόκους[5] εἰσπραχθήσεσθε. Βλέπετε μὴ αἰσχυνθῆτε ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος ἐκείνου, ἡνίκα πᾶσαι τῶν Οὐρανῶν αἱ Δυνάμεις σαλεύονται, καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις κρινομένη παρέστηκεν. Ἀγγέλων μυριάδες, Ἀρχαγγέλων στρατόπεδα[6], τῶν ἄνω Δυνάμεων τὰ τάγματα· ὅτε ὁ ποταμὸς τοῦ πυρὸς καὶ ὁ σκώληξ[7] ὁ ἀκοίμητος, καὶ σκότος τὸ ἐξώτερον, τότε σου ἀναγνωσθῆναι ἔχει τὸ χειρόγραφον. Ἐὰν ᾖς ἐλεήμων καὶ φιλάνθρωπος, εὐθὺς συνηγόρους ἕξεις τοὺς ἐλεηθέντας, ἐὰν δὲ ᾖς ἀπάνθρωπος καὶ ἀμετάδοτος, ἀνηλ|εὴς φ. 224α καὶ λοίδωρος[8], συκοφαντῶν τοὺς μηδέν σε ἠδικηκότας, τότε παρίσταταί σοι ὁ Διάβολος κατηγορῶν καὶ λέγων. Δέσποτα, οὗτος λόγῳ μὲν ἀπετάξατο, ἔργῳ δὲ ὑπηρέτησέ μοι. Καὶ λοιπὸν στυγνάζουσι μὲν οἱ Ἄγγελοι, δακρύουσι δὲ ἐπὶ σοὶ πάντες οἱ Δίκαιοι, τὸ δὲ τέλος τῆς ἀποφάσεως βαρὺ καὶ λεγόμενον.

Ἐάν τις ἐν τῷ παρόντι βίῳ ἐμπέσῃ εἰς κίνδυνον, ἢ προστάτας εὑρίσκει, ἢ φίλους παρακαλεῖ, ἢ ὑπὸ συγγενῶν βοηθεῖται, ἢ διὰ χρημάτων ἐλευθεροῦται, ἐκεῖ δὲ τοιοῦτον οὐδέν, οὐ πατὴρ βοηθῶν, οὐ μήτηρ εὐσπλαγχνιζομένη,

---

[1] ἀπετάξασθαι.

[2] στήκεται.

[3] λέγεται.

[4] συντάσωμε.

[5] σκότους.

[6] στρατόπαιδα.

[7] ὡς σκόληξ.

[8] λύδορος.



Institutional Repository - Library & Information Centre - University of Thessaly
04/05/2024 19:54:41 EEST - 3.147.71.125

οὐκ ἀδελφοὶ προτρέχοντες, οὐ φίλοι σπουδάζοντες, ἀλλὰ πᾶς ἄνθρωπος γυμνὸς καὶ μόνος καὶ ἀπαρίστατος, ὑπὸ τῶν ἰδίων ἔργων ἢ βοηθούμενος ἢ κατακρινόμενος. Ἀδελφὸς γὰρ οὐ λυτροῦται, λυτρώσηται ἄνθρωπος; Βλέπετε τοίνυν, ἀσφαλίσασθε ἑαυτούς, ἀποτάξασθε τῷ Διαβόλῳ, μέχρι τέλους αὐτὸν μισήσατε. Συνετάξασθε τῷ Χριστῷ, μέχρις ἐσχάτης ἀναπνοῆς[1] αὐτὸν δοξολογήσατε[2]· μὴ ναυαγήσητε περὶ τὴν πίστιν, ἐλεήσατε πένητας· μὴ ὑπερίδητε τοὺς ἀδικουμένους· μὴ ἁρπάσητε τὰ ἀλλότρια· μὴ συκοφαντήσητε τοὺς ἀνευθύνους· ἀκοὴν ματαίαν μὴ παραδέχησθε· ὑπερμαχεῖτε τῶν Ἱερέων ὑμῶν, τὴν
φ. 224β ἑαυτῶν ζωὴν ἐν παντὶ ἀσφαλιζόμενοι. Οὐδὲν ὑπεστειλάμην τοῦ μὴ εἰπεῖν|[3] ὑμῖν τὰ συμφέροντα. Αὐτοὶ λοιπὸν οἴδατε πῶς δεῖ φυλάττεσθαι[4]. Ἐγὼ γάρ, ὃ ἦν ἐν ἐμοί, ἐποίησα, προειπὼν ὑμῖν τὰ συμφέροντα, μήποτε ἐπελθοῦσα ρομφαία λάβῃ ψυχὴν ἐκ τοῦ λαοῦ. Ἐπιτηρεῖ γὰρ ὑμῖν ὁ ἐχθρὸς λοιπὸν καὶ ρῆμα καὶ ἐνθύμημα καὶ ἔννοιαν καὶ κίνημα καὶ πρᾶξιν· ἀλλ᾽ὑμεῖς οὕτως ἑαυτοὺς ἀσφαλίσασθε, ἵνα, τοῦ ἐξεναντίας μηδὲν ἔχοντος λέγειν περὶ ὑμῶν φαῦλον ἐν τῇ ἡμέρᾳ τῆς φοβερᾶς κρίσεως, παραστῶμεν τῷ βήματι τοῦ Χριστοῦ ἀκαταισχύντως, καὶ ἀκούσωμεν παρ᾽ αὐτοῦ τὴν εὐκταίαν[5] ἐκείνην καὶ μακαρίαν φωνήν· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς Κόσμου». Αὐτῷ πρέπει δόξα τῷ Πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Καὶ μετὰ τὸ Ἀμὴν λέγει αὐτοῖς. Ἄνω τὰς χεῖρας ὑμῶν. Εἶτα λέγει. Ὑπὲρ τῆς Οἰκουμενικῆς καταστάσεως καὶ εὐσταθείας τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, εἴπωμεν πάντες.

Ὑπὲρ τῶν εὐσεβεστάτων Βασιλέων ἡμῶν, παντὸς τοῦ Παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν καὶ τοῦ φιλοχρίστου λαοῦ, εἴπωμεν πάντες.

Ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν ψυχῶν ἡμῶν καὶ ὑπὲρ τοῦ συντριβῆναι τὸν Σατανᾶν ἐν τάχει ὑπὸ τοὺς πόδας ἡμῶν, εἴπωμεν πάντες.

Ὑπὲρ τοῦ ἄσειστον καὶ ἄφλεκτον καὶ ἀναίμακτον διαφυλαχθῆναι τὴν πόλιν ἡμῶν καὶ πᾶσαν πόλιν καὶ χώραν, εἴπωμεν πάντες.

Καὶ σφραγίζει τὸν λαὸν κατὰ τὸ ἔθος[6] ὁ Ἀρχιεπίσκοπος, λέγων, ὅτι
φ. 225α ἐλεήμων καὶ φιλάνθρωπος,| καὶ τὰ ἑξῆς. Καὶ μετὰ τὸ Ἀμὴν λέγει ὁ Πατριάρχης.

Ἐνδύσασθε καὶ ὑποδύσασθε. Εἶτα κατέρχεται καὶ εἰσέρχεται ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ καὶ γινομένης τῆς τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων

---

[1] ἀναπνωῆς.
[2] δοξολογίσατε.
[3] ὑπεῖν.
[4] φυλάτετε.
[5] εὐκτέαν.
[6] εἶθος.

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/05/2024 19:54:41 EEST - 3.147.71.125

συνήθους εὐχῆς ὑπὸ ἑνὸς τῶν Διακόνων, ποιεῖ ὁ Ἀρχιερεὺς τὴν εὐχὴν ταύτην.

Δέσποτα Κύριε ὁ Θεός, προσκάλεσον τοὺς δούλους σου πρὸς τὸ ἅγιόν σου φώτισμα, καὶ καταξίωσον αὐτοὺς τῆς μεγάλης σου ταύτης χάριτος, ἀπόλουσον αὐτῶν τὴν παλαιότητα καὶ ἀναγέννησον αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, καὶ πλήρωσον αὐτοὺς τῆς τοῦ ἁγίου σου πνεύματος δυνάμεως εἰς ἕνωσιν τοῦ Χριστοῦ σου.

Καὶ πληρώσας τὴν εὐχὴν τῶν φωτιζομένων ὁ Διάκονος, ἀντὶ τοῦ «κλίνατε τὰς κεφαλὰς» [1] λέγει: Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε τῇ χειροθεσίᾳ καὶ εὐλογεῖσθε. Καὶ πάντας χειροθετῶν ὁ Ἱερεὺς ἄνδρας τε καὶ γυναῖκας, ἔρχεται πλησίον τῆς ἁγίας Τραπέζης καὶ ἐκφωνεῖ, ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν καὶ τὰ λοιπά. Εἶτα ὁ Ἱερεὺς λέγει, εἰρήνη πᾶσι· ὁ Διάκονος, τὰς κεφαλὰς ὑμῶν, κτλ. Ὁ Ἀρχιερεὺς ἐπεύχεται.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν λάμψον φῶς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν καὶ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων καὶ ἀξίωσον αὐτοὺς τῆς ἀθανάτου δωρεᾶς καὶ ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν κτλ.». Ὁ Διάκονος: «ἐν εἰρήνῃ προέλθετε» καὶ ἀπόλυσις. Καὶ ἄρχεται ἡ λειτουργία.

ΓΕΡΩΝ ΑΡΚΑΔΙΟΣ ΒΑΤΟΠΕΔΙΝΟΣ

---

[1] κλίναντος τὰς κεφαλάς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/05/2024 19:54:41 EEST - 3.147.71.125